πρὸς τὸ ἐξαπατᾷν καὶ παρακρούεσθαι ἄνδρας. αἵπερ A δὴ πορναὶ, λαικαστρίαι ὀνομάζονται. Θριγκοῖς πελάθει] τῇ οἰκίᾳ καὶ τῷ προθύρῳ ἐκείνης. Θριγκὸς δὲ σημαίνει πολλὰ, δηλοῖ γὰρ τὸ περίφραγμα τοῦ οἴκου καὶ περίβολον μικροῦ τείχους τῶν τε οἰκιῶν τὸ ἀνώτατον. Τουτὶ τὸ πέος.] τουτὶ τὸ αἰδοῖον κυλίσας, καὶ συστραφών. ταῦτα ῥήματα τοῦ Μνησιλόχου μέχρι τούτων ἐπῶν. Ηπου] ἅπερ λέγει ὁ θεράπων μέχρι τούτων (ὦ δαιμόνιε.) Νέος ἄγων ἦσθ' ὑβριστὴς ὦ γέρων.] σὺ δή που ὦ γέρων ὑβρίζεις καὶ αἰσχρολογεῖς, καὶ διὰ τὴν ὕβριν αἰσχρολογίαν τε B νέον ἀγῶνα ῥιπίζεις καὶ ἀνερεθίζεις. Τοῦτον μὲν ἔα χαίρειν.] ἔασον δὴ τοῦτον, καὶ κέλευε πολλ' ἐρρῶσθαι.

BISETUS. Δρυόχους) δρύοχοι, ὥς φησιν Εὐστάθιος, κυρίως λέγονται πάσσαλοι, ἐφ' ὧν στοιχηδὸν διατεθειμένων ἡ τρόπις ἵσταται τῶν καινουργουμένων πλοίων διὰ ἰσότητα. καὶ ἄλλως δὲ εἰπεῖν, δρύοχοι, πάσσαλοι ἐκ δρυὸς, ὅ ἐστιν ἁπλῶς ξύλου, καθιστῶντες τὴν τρόπιν ἐν τῷ πέριξ αὐτὴν συνέχειν. Σουΐδας δὲ τούτων τῶν Ἀριστοφανείων στίχων μνημονεύων οὕτω λέγει, δρύοχοι, πάσσαλοι, οἱ ἐντιθέμενοι ναυπηγουμένης νεώς. καταχρηστικῶς δὲ τὰ προοίμια. Ἀψῖδας ἐπῶν.] ἀψῖδες κατὰ τὸν Ἡσύχιον τὰ κύκλα τῶν τροχῶν, αἱ περιφέρειαι, ἢ καμάραι. C κατὰ δὲ τὸν Εὐστάθιον ἀψῖδες λέγονται αἱ δικτύου καμπαὶ, καὶ ἀγκάλαι. καὶ οὕτω καλεῖται ὁ ξύλινος τροχοῦ κύκλος. νῦν δὲ μεταφορικῶς ἀψῖδας ἐπῶν λέγει τὰς τῶν λόγων σκολιὰς, καὶ στρογγυλιώδεις συμπλοκάς. οὕτω δὲ τὴν Ἀγάθωνος περὶ τοὺς λόγους σκαιότητα, καὶ βαρβαρισμὸν αἰνιγματικῶς δηλοῖ. Κολλομελεῖ] μέλη καὶ ᾠδὰς κολλᾷ, συρράπτει, συνάπτει. γνωμοτυπεῖ, γνώμας τυποῖ, σχηματίζει, χαρακτηρίζει, ἀντονομάζει, ὀνόματα ἀντὶ ὀνομάτων λέγει. Κηροχυτεῖ.) κηρὸν διατήκει κυρίως. νῦν δὲ μεταφορικῶς ληπτέον ἀντὶ τοῦ, μαλακὰ ὥσπερ τὰ τοῦ κηροπλάστου ἔργα ποιεῖ. γογγυλίζει δὲ, μεταστρέφει, ἢ ὡς μάζας γογγύλας ἤγουν στρογγύλας ποιεῖ, καὶ καινοτυπεῖ. Λαικάζει] πορνεύει. παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ κάζειν, τὸ κοσμεῖν ὅθεν λαικάστρια, ἡ πόρνη. Πελάθει θριγκοῖς] πελάζει, πλησιάζει, ἐγγίζει. θριγκὸς δὲ, τὸ περίφραγμα τοῦ οἴκου. στεφάνη. μικρὸν τειχίον. περίβολος. ἢ B τῶν οἰκιῶν τὰ ἀνώτατα. ἡ μεταφορὰ ἀπὸ τῶν ἀνθρώπων, ὅτι τὰ ἀνώτατα αὐτῶν σώματα θριξὶ περιπέφρακται. Σ. καὶ θριγκὸς κατὰ τὸν Εὐστάθιον. φραγμὸς, ἢ περίβολος ὑπερκείμενος. καὶ τειχῶν δίκην κοσμῶν. παρὰ τὴν τειχὸς γενικήν. Τοῦ θριγκοῦ.] τινὲς οὐκ ἀπιθάνως γραπτέον οἴονται, τοῦ τραγικοῦ. τοῦτο τεκμαιρόμενοι ἐκ τῶν δὲ τῶν προηγουμένων, τοῦ τε ποιητοῦ, τοῦ καλλιεποῦς, εἶτα ἐπιφέροντες, τοῦ τραγικοῦ. ἀλλὰ τῆς γραφῆς καλῶς ἐχούσης δῆλος ὁ νοῦς ἐστι. Μνησίλοχος παίζων πρὸς τὰ ὑπὸ τοῦ θεράποντος εἰρημένα,

Τίς ἀγροιώτας πελάθει θριγκοῖς;

τὴν αὐτὴν λέξιν εἰς Ἀγάθωνα καταφρονητικῶς ἀναστρέφει, C καὶ οὐκ ἐξετάζων τὴν αὐτοῦ σημασίαν, σκωπτικῶς μόνον οὕτω παρῳδεῖ. Ηπου νέος.] στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λή. ὧν ὁ τελευταῖος. Μύρμηκος ἀτραποὺς, ἢ τί διαμινυρίζεται. τούτου δὲ τοῦ στίχου ὁ νοῦς ἐστι, ὦ γέρον, τῷ ὄντι δηλοῖς ὅτι νέος ὢν, ἄγαν ἦσθα ὑβριστής. τουτέστι λοίδορος. κατήγορος, λωβητὴρ, ἢ μοιχευτὴς, διαφθορεὺς, διακορευτής. τὸ δὲ νέον τῷ γέροντι καλῶς ἀντιτίθησι. καὶ τὸ γέρον νῦν ἐπὶ λοιδορίας λαμβάνεται.

D Οντος καταχάμπτειν τὰς στροφὰς οὐ ῥᾴδιον
Ην μὴ προΐῃ θύραζε πρὸς τὸν ἥλιον.
Μν. Τί οὖν ἐγὼ δρῶ; Ευ. περίμεν' ὡς ἐξέρχεται.
Μν. Ω Ζεῦ τί δρᾶσαι διανοεῖ με τήμερον;
Νὴ σὺ θεοὺς ἐγὼ πυθέσθαι βούλομαι.
Τί τὸ πρᾶγμα τουτί; τί στένεις; τί δυσφορεῖς;
E Οὐ χρῆν σε κρύπτειν, ὄντα κηδεστὴν ἐμόν.
Ευ. Εστιν κακόν μοι μέγα τι προπεφυραμένον.
Μν. Ποῖόν τι. Ευ. τῇδε θ' ἡμέρα κριθήσεται,

*Existente flectere conuersiones non facile,*
*Nisi processerit foras ad solem.*
MN *Quid igitur ego faciam?* Ευ. *Expecta, quoniam egreditur.*
MN. *O Iupiter, quo afficere cogitas me hodie?*
EV *Per Deos ego audire volo*
*Quidnam res hæc. quid gemis, quid ægre fers?*
*Non ne oportebat te celare existentem socerum meum.*
MN. *Est malum mihi magnum quoddam præparatum.*
Ευ. *Qualenam?* MN. *hac die indicabitur,*

BOVRDINVS. Καταχάμπτειν, τὰς στροφὰς οὐ ῥᾴδιον.] αἱ στροφαὶ λέγονται, αἱ ἀντίστροφαι καὶ ἀντιλογίαι κατὰ διαιρέσεις τῶν μελῶν. χαλεπὸν δὲ, φησὶν, ἐστὶ κάμπτειν χειμῶνος ὄντος τὰς στροφὰς, διὰ τὸ φρικῶδες τραχὺ καὶ ῥιγῶδες τοῦ χειμῶνος ψυχροῦ. καὶ γὰρ τὰ θερμὰ ῥᾷον κάμπτονται, καὶ μεταστρέφονται, μετασχηματίζονταί τε διὰ θερμότητα μαλακοῦσαν, ἢ τὰ ψυχρὰ διὰ τὴν ψυχρότητα σκληραίνουσαν, καὶ δυσμετάστρεπτον οὖσαν. Προΐῃ θύρασι πρὸς τὸν ἥλιον.] τοῦ προσιέναι μαλακύνειν καὶ διαθερμαίνειν ἕνεκα. Δυσφορεῖς.] βαρύνεις, χαλεπαίνεις, καὶ πικρῶς ἔχεις. Κηδεστὴν ἐμόν] κηδεσταὶ, πενθεροὶ λέγονται, οἱ τῆς κόρης γονεῖς, καὶ οἰκεῖοι συγγενεῖς τε τῶν γαμούντων. Προπεφυραμένον.) προπαρασκευασθὲν, διαμιγὲν, καὶ συγκερασθέν. Φύρειν γὰρ μολύνειν δηλοῖ. ἐκβρέχειν τε. ἐνταῦθα δὲ καταχρηστικῶς δηλοῖ προφύρειν, προκατασκευάζειν, συγχεῖν. Κριθήσεται] κρίσις γενήσεται καὶ δικασθήσεται.

BIS. Κηδεστὴν ἐμόν] κῆδος ἡ ἐπιγαμία κατὰ Θουκυδίδην καὶ κηδεία κατὰ Δημοσθένην. καὶ κηδεύματα κατὰ Πλάτωνα. ὅθεν κηδεσταὶ, οἱ τὸ κῆδος συνάψαντες, F καὶ πενθεροὶ κατὰ τοὺς ποιητάς. καὶ προσκηδεῖς καθ' Ἡρόδοτον. ταῦτα ὁ Πολυδεύκης ἐν τῷ Γ. Σουΐδας δὲ τούτου τοῦ στίχου μνημονεύων, κηδεστὴς, φησιν, ὁ κατ' ἐπιγαμβρίαν οἰκεῖος. ἢ πενθερός. οὐ μόνον δὲ ὁ διδοὺς, ἀλλὰ καὶ ὁ λαμβάνων. Αλλως. κηδεσταὶ λέγονται, ὅ, τε πατὴρ τῆς γεγαμημένης, καὶ αὐτὸς ὁ γαμῶν. κῆδος γάρ ἐστιν ἡ κατ' ἐπιγαμίαν συγγένεια. ἐπεὶ ἐκ προνοίας, καὶ κηδεμονίας συνίσταται. γίνεται δὲ παρὰ τὸ κήδω, τὸ φροντίζω. ἐτυμολογικὸν μέγα. καταχρηστικῶς, οἱ συγγενεῖς. Ην μὴ προΐῃ] ἐστὶν ὁ στίχος οὕτω γραπτέος,

G Ην μὴ προΐῃ θύραζε πρὸς τὸν ἥλιον.

Προπεφυραμένον,] φυρᾷν, ζυμοῦν. ὅθεν φύραμα, τὰ ζυμώμενα ἄλφιτα. τὸ δὲ παρὰ τὸ φύρειν, τὸ ἐκβρέχειν, πλύνειν, μολύνειν ἐστὶν ὅτε κατὰ Σουΐδαν σημαίνει. τὸ δὲ σύνθετον προφυρᾷν, ὃ μεταφορικῶς δηλοῖ τὸ προπαρασκευάζειν, καὶ προμηχανᾶσθαί τι κατά τινος. προπεφυραμένον οὖν, προπαρεσκευασμένον.

Ttt